καὶ εἶπεν τοῖς ἄρχουσιν αὐτοῦ Ἐξέλθατε μετ᾽ αὐτοῦ εἰς μέσον
τῆς πόλεως καὶ κηρύξατε τοῦ μηδένα ἐντυγχάνειν κατ᾽ αὐτοῦ περὶ
μηδενὸς πράγματος, καὶ μηδεὶς αὐτῷ παρενοχλείτω περὶ παντὸς
64 λόγου. [64]καὶ ἐγένετο ὡς εἶδον οἱ ἐντυγχάνοντες τὴν δόξαν αὐτοῦ,
καθὼς ἐκήρυξεν, καὶ περιβεβλημένον αὐτὸν πορφύραν, καὶ ἔφυγον
65 πάντες. [65]καὶ ἐδόξασεν αὐτὸν ὁ βασιλεὺς καὶ ἔγραψεν αὐτὸν τῶν
66 πρώτων φίλων καὶ ἔθετο αὐτὸν στρατηγὸν καὶ μεριδάρχην. [66]καὶ
ἐπέστρεψεν Ιωναθαν εἰς Ιερουσαλημ μετ᾽ εἰρήνης καὶ εὐφροσύνης.
67 [67]Καὶ ἐν ἔτει πέμπτῳ καὶ ἑξηκοστῷ καὶ ἑκατοστῷ ἦλθεν Δημή-
τριος υἱὸς Δημητρίου ἐκ Κρήτης εἰς τὴν γῆν τῶν πατέρων αὐτοῦ.
68 [68]καὶ ἤκουσεν Ἀλέξανδρος ὁ βασιλεὺς καὶ ἐλυπήθη σφόδρα καὶ
69 ὑπέστρεψεν εἰς Ἀντιόχειαν. [69]καὶ κατέστησεν Δημήτριος Ἀπολ-
λώνιον τὸν ὄντα ἐπὶ Κοίλης Συρίας, καὶ συνήγαγεν δύναμιν με-
γάλην καὶ παρενέβαλεν ἐπὶ Ιάμνειαν· καὶ ἀπέστειλεν πρὸς Ιωνα-
θαν τὸν ἀρχιερέα λέγων
70 [70]Σὺ μονώτατος ἐπαίρῃ ἐφ᾽ ἡμᾶς, ἐγὼ δὲ ἐγενήθην εἰς κατα-
γέλωτα καὶ εἰς ὀνειδισμὸν διὰ σέ· καὶ διὰ τί σὺ ἐξουσιάζῃ ἐφ᾽
71 ἡμᾶς ἐν τοῖς ὄρεσι; [71]νῦν οὖν εἰ πέποιθας ἐπὶ ταῖς δυνάμεσίν
σου, κατάβηθι πρὸς ἡμᾶς εἰς τὸ πεδίον, καὶ συγκριθῶμεν ἑαυτοῖς
72 ἐκεῖ, ὅτι μετ᾽ ἐμοῦ ἐστιν δύναμις τῶν πόλεων. [72]ἐρώτησον καὶ
μάθε τίς εἰμι καὶ οἱ λοιποὶ οἱ βοηθοῦντες ἡμῖν, καὶ λέγουσιν Οὐκ
ἔστιν ὑμῖν στάσις ποδὸς κατὰ πρόσωπον ἡμῶν, ὅτι δὶς ἐτροπώ-
73 θησαν οἱ πατέρες σου ἐν τῇ γῇ αὐτῶν. [73]καὶ νῦν οὐ δυνήσῃ ὑπο-
στῆναι τὴν ἵππον καὶ δύναμιν τοιαύτην ἐν τῷ πεδίῳ, ὅπου οὐκ
ἔστιν λίθος οὐδὲ κόχλαξ οὐδὲ τόπος τοῦ φυγεῖν.
74 [74]Ὡς δὲ ἤκουσεν Ιωναθαν τῶν λόγων Ἀπολλωνίου, ἐκινήθη τῇ
διανοίᾳ καὶ ἐπέλεξεν δέκα χιλιάδας ἀνδρῶν καὶ ἐξῆλθεν ἐξ Ιερου-
σαλημ, καὶ συνήντησεν αὐτῷ Σιμων ὁ ἀδελφὸς αὐτοῦ ἐπὶ βοήθειαν
75 αὐτῷ. [75]καὶ παρενέβαλεν ἐπὶ Ιοππην, καὶ ἀπέκλεισαν αὐτὴν οἱ ἐκ
τῆς πόλεως, ὅτι φρουρὰ Ἀπολλωνίου ἐν Ιοππη· καὶ ἐπολέμησαν
76 αὐτήν, [76]καὶ φοβηθέντες ἤνοιξαν οἱ ἐκ τῆς πόλεως, καὶ ἐκυρίευσεν
77 Ιωναθαν Ιοππης. [77]καὶ ἤκουσεν Ἀπολλώνιος καὶ παρενέβαλεν τρισ-
χιλίαν ἵππον καὶ δύναμιν πολλὴν καὶ ἐπορεύθη εἰς Ἄζωτον ὡς δι-

63 αυτου $2^0$ > S*VL | κατ αυτου] κατα του σου A† (Sw.† κατα τουτου) | παρενοχλειτω] παρ > A† || 64 πορφυραν] σινδονα A† | και ult. > VL || 66 εις ιερουσ. > S† || 67 εν ετει πεμπτω] ε′ ετ⟨ε⟩ι S† (Sc pr. εν) | υιος] pr. ο A || 68 ελυπηθη] + ο βασιλευς (sic) S*† | υπεστρ. S*V†] απ. rel. || 69 κοιλης] pr. της ScL | παρενεβαλεν] -λον S*† | επι ιαμν(ε)ιαν SVLa†] εν -α rel. || 70 εις $2^0$ > A† | συ $2^0$ > A || 71 ει πεποιθας] επιπεπ. S† | μετ εμου εστιν] ουκ εστιν ετι S*† || 72 υμιν] ημ. S*A | ποδος] > S*†, ποδων Sc† | δις ετροπωθ.] διετροπ. S† || 73 και $2^0$ > S† | του] που A† || 74 εξ] εις S*† | επι βοηθειαν] επιβοηθειν V† | αυτω ult. SV† (cf. 5 39)] -του rel. || 75 αυτην $1^0$ S*VLa†] -τον rel. | φρουρα .. εν ιοππη] -ραν .. εν ιοππη ευρον S†